οὐκ ἔστιν ἄλλος νόμος ὁ καινὸς παρὰ τὸν παλαιόν· ἀμφοῖν γὰρ ἓν τέλος, τὸ ὑποτάττεσθαι τῷ Θεῷ· εἷς δὲ Θεός ἐστι τῆς παλαιᾶς καὶ τῆς καινῆς διαθήκης, κατὰ τὸ τέταρτον τῆς πρὸς Ῥωμαίους· „Εἷς Θεός ἐστιν, ὃς δικαιοῖ περιτομὴν ἐκ πίστεως καὶ ἀκροβυτίαν διὰ τῆς πίστεως. Κατὰ δὲ τὸν δεύτερον τρόπον, ἄλλος καὶ ἄλλος εἰσίν· ὁ μὲν γὰρ παιδαγωγὸς ἦν εἰς τὸν νέον, ὡς ἐν τρίτῳ τῆς πρὸς Γαλάτας· ὁ δὲ τοῦ παλαιοῦ τελείωσις, ὡς ἐν τρίτῳ τῆς πρὸς Κορινθίους ὅτι „ἔστι σύνδεσμος τελειότητος".

2. Δεύτερον, ὅτι ὁ νέος νόμος ἀναπληροῖ τὸν παλαιόν, ὡς ἐν τῷ πέμπτῳ τοῦ κατὰ Ματθαῖον· „Οὐκ ἦλθον καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι". Καὶ μετὰ ταῦτα· „Ἰῶτα ἕν, ἢ μία κεραία οὐ μὴ παρέλθοι ἀπὸ τοῦ νόμου, ἕως ἂν πάντα γένηται". Ἐν γὰρ τῷ παλαιῷ νόμῳ δύο δύνανται θεωρεῖσθαι· τὸ τέλος καὶ αἱ ἐν τῷ νόμῳ περιεχόμεναι ἐντολαί. Τέλος δὲ παντὸς νόμου, τὸ γίνεσθαι τοὺς ἀνθρώπους δικαίους καὶ ἐναρέτους· ὅθεν καὶ τὸ τέλος τοῦ παλαιοῦ νόμου ἡ δικαίωσις ἦν τῶν ἀνθρώπων, ὃ ποιῆσαι μὲν ὁ νόμος οὐκ ἠδύνατο, προετύπου δὲ μόνον καὶ ἐπηγγείλετο θυσίαις τισὶ καὶ παρατηρήσεσιν· καὶ κατὰ τοῦτο ὁ νέος νόμος ἀναπληροῖ τὸν παλαιὸν τῷ δικαιοῦν τῇ δυνάμει τοῦ πάθους τοῦ Χριστοῦ, ὡς ἐν ὀγδόῳ τῆς πρὸς Ῥωμαίους· „Τὸ γὰρ ἀδύνατον τοῦ νόμου, | ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκός, f. 159 ὁ Θεὸς τὸν ἑαυτοῦ Υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί, ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν, τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν ἀλλὰ κατὰ πνεῦμα".

Ἔτι, ὁ νέος νόμος παρίστησιν ὅπερ ὁ παλαιὸς ὑπισχνεῖτο, κατὰ τὸ δεύτερον τῆς πρὸς Κορινθίους πρώτης· „Ὅσαι γὰρ ἐπαγγελίαι Θεοῦ εἰσίν, ἐν αὐτῷ εἰσίν", τουτέστιν ἐν τῷ Χριστῷ.

Ἔτι, ἀναπληροῖ ὅπερ ὁ παλαιὸς νόμος ἐτύπου, ὡς ἐν δευτέρῳ τῆς πρὸς Κολοσσαεῖς λέγεται, ὅτι „αἱ παρατηρήσεις ἦσαν σκιαὶ τῶν μελλόντων, τὸ δὲ σῶμα τοῦ Χριστοῦ", τουτέστιν ἡ ἀλήθεια εἰς τὸν Χριστὸν ἀνήκει· ὅθεν καὶ ὁ νέος ἀληθείας λέγεται νόμος, ὁ δὲ παλαιὸς σκιᾶς ἢ τύπου. Τὰς δέ γε ἐντολὰς τοῦ παλαιοῦ νόμου ἀνεπλήρωσεν ὁ Χριστὸς καὶ ἔργοις καὶ διδασκαλίαις· ἔργοις μέν, ἐν οἷς περιτμηθῆναι ἠθέλησεν καὶ τὰ ἄλλα τηρῆσαι τὰ νόμιμα, ἃ ἔδει κατὰ τὸν καιρὸν ἐκεῖνον τηρεῖσθαι, ὡς ἐν τετάρτῳ τῆς πρὸς Γαλάτας· „Γενόμενος ὑπὸ νόμον"· τῇ δὲ ἑαυτοῦ διδασκαλίᾳ ἀνεπλήρωσε τὰς ἐντολὰς τοῦ νόμου τριχῶς· πρῶτον μὲν ἐκφαίνων τὴν ἀληθῆ τοῦ νόμου διάνοιαν, ὃ δῆλον ἐπὶ τοῦ φόνου καὶ τῆς μοιχείας, ἃς κωλύοντες οἱ γραμματεῖς καὶ οἱ φαρισαῖοι, μόνον τὴν ἔξωθεν πρᾶξιν ἐνόμιζον κωλύεσθαι· ἀλλ' ὁ Κύριος ἀνεπλήρωσε, δεικνὺς καὶ τὰς ἔνδον τῶν ἁμαρτημάτων ἐνεργείας δεῖν κωλύεσθαι· δεύτερον,

---

3 Rom. 3, 30 7 Colos. 3, 14 (non Cor.) 9 Matth. 5, 17 18 Rom. 8, 3
23 II Cor. 1, 20 (non I Cor. 2) 26 Col. 2, 17 32 Gal. 4, 4

Ε.Υ. Ζήτης Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

δεικνὺς ὅπως ἀσφαλέστερον ἄν τις τηροῖ τὸ ὑπὸ τοῦ παλαιοῦ νόμου ὁρισθέν, ὥσπερ ὥριστο τῷ παλαιῷ μὴ ἐπιορκεῖν· τοῦτο δὲ ἀσφαλέστερον τηρεῖται εἰ παντάπασι τοῦ ὅρκου ἀπέχοιτο, εἰ μήπου δι' αἰτίαν ἀνάγκης· τρίτον, προσθείς τινας τελειότητος παραινέσεις, ὡς ἐν δεκάτῳ τοῦ κατὰ Ματθαῖον, ὅτι τῷ εἰρηκότι τὰς ἐντολὰς πάσας τοῦ νόμου τηρῆσαι, εἶπεν ὁ Κύριος· „Ἕν σοι ὑστερεῖ· εἰ θέλεις τέλειος εἶναι, ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα“.

Εἰ δὲ καὶ καταργηθῆναι λέγεται ὁ πρῶτος ὑπὸ τοῦ δευτέρου νόμου, τοῦτο ὅσον πρὸς τὰς τυπικὰς παρατηρήσεις εἴρηται· ἡ γὰρ τοῦ μέλλοντος
f. 159v δώρου ὑπόσχεσις οὐκ ἔχει χώραν, τῆς ἐπαγγελίας ἤδη | πεπληρωμένης τῇ δόσει τοῦ δώρου.

3. Τρίτον, ὅτι ὁ νέος νόμος περιέχεται ἐν τῷ παλαιῷ. Λέγεται γὰρ ἐν πρώτῳ τοῦ Ἰεζεκιὴλ· „Ὁ τροχὸς ἦν ἐν τῷ τροχῷ“, τουτέστιν ἡ νέα διαθήκη ἐν τῇ παλαιᾷ, φησὶν ὁ Γρηγόριος. Διχῶς γὰρ περιέχεταί τι ἔν τινι· ἕνα μὲν τρόπον, ἐνεργείᾳ, ὥσπερ τὸ ἐν τόπῳ ὑπὸ τοῦ τόπου· ἕτερον δὲ τρόπον, ὡς τὸ ἀποτέλεσμα ἐν τῇ αἰτίᾳ, ἢ τὸ τετελεσμένον ἐν τῷ ἀτελεῖ, ὥσπερ τὸ γένος δυνάμει περιέχει τὰ εἴδη, καὶ ὥσπερ τὸ ὅλον δένδρον περιέχεται ἐν τῷ σπέρματι· καὶ οὕτω ὁ νέος νόμος ἐν τῷ παλαιῷ περιέχεται. Ὅθεν ὁ Χριστός, ἐξηγούμενος τὸ τέταρτον τοῦ Μάρκου, ὥσπερ „πρῶτον ἡ γῆ βοτάνην, εἶτα στάχυν, ἐφεξῆς δὲ πληροῖ κόκκον ἐν τῷ στάχει, φησίν· π ρ ῶ τ ο ν φ ύ ε ι β ο τ ά ν η ν, ἐν τῷ τῆς φύσεως νόμῳ· ἐ φ ε ξ ῆ ς σ τ ά χ υ ν, ἐν τῷ τοῦ Μωσέως νόμῳ· εἶτα π λ ή ρ η κ α ρ π ό ν, ἐν τῷ εὐαγγελίῳ.

4. Τέταρτον, ὅτι ὁ νέος νόμος οὐκ ἔστι τοῦ παλαιοῦ βαρύτερος· „Ὁ γὰρ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν“ ὁ Κύριος εἴρηκεν. Ὅτι περὶ τὰ τῆς ἀρετῆς ἔργα, περὶ ὧν αἱ τῶν νόμων ἐντολαὶ δίδονται, διπλῆν δυσχέρειαν νοεῖσθαι δυνατόν· μίαν μὲν κατὰ τὰ ἔξωθεν ἔργα, ἃ καθ' αὑτὰ ἔχει τινὰ δυσχέρειαν καὶ βαρύτητα, καὶ ὅσον κατὰ τοῦτο ὁ παλαιὸς νόμος βαρύτερός ἐστι τοῦ νέου πολύ· πρὸς πλείους γὰρ ἐξωτερικὰς πράξεις ποιεῖ τοὺς ἀνθρώπους ὑπόχρεως καὶ πολλαπλᾶς παρατηρήσεις ἢ ὁ νέος, ὃς παρὰ τὰς τοῦ φυσικοῦ νόμου ἐντολὰς ἐλάχιστα προσέθηκεν ἐν τῇ τοῦ Χριστοῦ καὶ τῇ τῶν ἀποστόλων διδασκαλίᾳ· ἑτέραν δὲ δυσχέρειαν, τὴν περὶ τὰς ἔνδον ἐνεργείας νοητέον, οἷον τὸ ἐπιτελεῖν τὸ τῆς ἀρετῆς ἔργον προθύμως τε καὶ ἡδέως, περὶ ἣν δυσχέρειάν ἐστι καὶ ἡ ἀρετή· τῷ γὰρ μὴ ἔχοντι τὴν ἀρετὴν λίαν ἐστὶ τοῦτο δυσχερές, ἀλλὰ διὰ τὴν ἀρετὴν γίνεται ῥᾴδιον· καὶ οὕτως αἱ ἐντολαὶ τοῦ καινοῦ νόμου βαρύτεραι· ἐν γὰρ τῷ καινῷ νόμῳ κωλύονται αἱ ἔνδον τῆς ψυχῆς

---

6 Matth. 19, 21   13 Ezech. 1, 16   20 Marc. 4, 28 *πληροῖ* sic A   21 *στάχει* sic A   24 Matth. 11, 28

Ε.Γ.Ζ. της Κ.τ.Α. ΙΩΑΝΝΙΝΑ 2006

κινήσεις, αἵτινες ἐν τῷ παλαιῷ νόμῳ διαρρήδην οὐκ ἐκωλύοντο ἐπὶ πάντων, εἰ καὶ ἐπί τινων ἐκωλύοντο, ἀλλὰ καὶ ἐν οἷς ἐκώλυε, τιμωρίαν οὐκ ἐπετίθει· | τοῦτο δέ ἐστι δυσχερέστατον τῷ μὴ ἔχοντι ἀρετήν, ὡς ἐν πέμπτῳ f. 160 τῶν ἠθικῶν φησὶν ὁ Φιλόσοφος, ὅτι τὸ μὲν πράττειν ἅπερ ὁ δίκαιος πράττει ῥᾴδιόν ἐστι· τὸ δὲ τοῦτον τὸν τρόπον ἐκεῖνα ποιεῖν ὃν καὶ ὁ δίκαιος, τουτέστιν ἡδέως τε καὶ προθύμως, δυσχερές ἐστι τῷ μὴ ἔχοντι δικαιοσύνην· καὶ ὡς λέγεται ἐν πέμπτῳ τῆς Ἰωάννου πρώτης· „Καὶ αἱ ἐντολαὶ αὐτοῦ βαρεῖαι οὐκ εἰσίν“, ὅπερ ἐξηγούμενος Αὐγουστῖνος λέγει, ὅτι τῷ μὲν ἀγαπῶντι οὐκ εἰσὶ βαρεῖαι, τῷ δὲ μὴ ἀγαπῶντι καὶ μάλα.

## CVIII. — Περὶ τῶν ἐν τῷ καινῷ νόμῳ περιεχομένων.

1. Περὶ ὃ πρῶτον δείκνυται, ὅτι ὁ καινὸς νόμος εὐλόγως κωλύει, ἢ προστάττει τινὰ τῶν ἐξωτερικῶν ἔργων. Ἐν γὰρ τῷ δωδεκάτῳ τοῦ κατὰ Ἰωάννην λέγεται· „Πιστεύετε εἰς τὸ φῶς, ἵνα υἱοὶ φωτὸς γένησθε“· ἐν δὲ τῷ πέμπτῳ τῆς πρὸς Ἐφεσίους· „Ὡς υἱοὶ φωτὸς περιπατεῖτε“, τουτέστιν ἔργα φωτὸς διαπράττεσθε.

Εἰ δὲ ἀνθυποφέροιτο, ὅτι ὁ μὲν νέος νόμος τὸ εὐαγγέλιον τῆς βασιλείας τοῦ Θεοῦ ἐστιν, ὡς ἐν τῷ εἰκοστῷ τετάρτῳ τοῦ κατὰ Ματθαῖον, αὕτη δὲ ἐν μόναις ταῖς ἔνδον ἐνεργείαις ἐστίν, ὡς ἐν εἰκοστῷ ἑβδόμῳ τοῦ Λουκᾶ· „Ἡ βασιλεία τῶν οὐρανῶν ἐντὸς ἡμῶν ἐστι“· καὶ ἐν τεσσαρακαιδεκάτῳ τῆς πρὸς Ῥωμαίους· „Οὐκ ἔστι ἡ βασιλεία τοῦ Θεοῦ βρῶσις καὶ πόσις, ἀλλὰ εἰρήνη καὶ χαρὰ ἐν Πνεύματι ἁγίῳ“· δεύτερον, ὅτι ὁ καινὸς νόμος Πνεύματός ἐστι νόμος, ὡς ἐν ἑβδόμῳ της πρὸς Ῥωμαίους· „Ὅπου δὲ τὸ πνεῦμα Κυρίου, ἐκεῖ ἡ ἐλευθερία“, ὡς λέγεται ἐν τρίτῳ τῆς πρὸς Κορινθίους δευτέρας· οὐκ ἔστι δὲ ἐλευθερία ὅπου ὁ ἄνθρωπος ὑπόχρεώς ἐστι φυλάττειν, ἢ ἐκφεύγειν τινὰ τῶν ἐξωτερικῶν ἔργων· πρὸς μὲν τὸ πρῶτον δεῖ λέγειν, ὅτι ἡ τοῦ Θεοῦ βασιλεία ἀρχικῶς μὲν ἐν ταῖς ἔνδον ἐνεργείαις συνίσταται, ἑπομένως δὲ καὶ ἐν τοῖς ἔξωθεν ἔργοις, ὧν ἄνευ τὰς ἔνδον ἐνεργείας εἶναι ἀδύνατον, ὥσπερ ἀδύνατον εἶναι δικαιοσύνην ἐν ψυχῇ, καὶ εἰρήνην καὶ πνευματικὴν χάραν, ἅ εἰσιν ἡ ἔνδον βασιλεία, τῶν ἔξωθεν ἐνεργειῶν μαχομένων αὐταῖς, καὶ διὰ τοῦτο ἐκείνας ἐν τῷ τῆς βασιλείας εὐαγγελίῳ τὰς ἐνεργείας κωλύεσθαι δεῖ, αἳ τῇ βασιλείᾳ τοῦ Θεοῦ μάχονται· τὰ δὲ ἀδιαφόρως ἔχοντα, οἷον τόδε ἢ ἐκεῖνο τὸ σιτίον ἐσθίειν, οὐκ ἔστι βασιλεία Θεοῦ. | Πρὸς τὸ δεύτερον, ἐπεὶ κατὰ τὸν Φιλόσοφον ἐν πρώτῳ f. 160v τῶν μετὰ τὰ φυσικά, ἐλεύθερός ἐστιν ὅς ἐστιν ἑαυτοῦ αἴτιος, ἐκεῖνος ἐλευθέρως ποιεῖ, ὃς ἀφ' ἑαυτοῦ ποιεῖ· ὃ δὲ ἄνθρωπος ποιεῖ ἐκ τῆς ἕξεως, τῆς τῇ ἑαυτοῦ φύσει οἰκείας, ἐξ ἑαυτοῦ ποιεῖ· ἡ γὰρ ἕξις τρόπον φύσεως

---

7 I Ioh. 5, 3 14 Ioh. 12, 36 15 Eph. 5, 8 20 Luc. 17, 21 21 Rom. 14, 17
23 II Cor. 3, 17

Ε.Γ. Σ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἔχει· εἰ δὲ τῇ φύσει ἡ ἕξις ἐμάχετο, οὐκ ἂν ὁ ἄνθρωπος ἐποίει καθὸ ἐστιν αὐτός, ἀλλὰ κατά τινα φθορὰν ἐπελθοῦσαν αὐτῷ· ἐπεὶ τοίνυν ἡ χάρις τοῦ ἁγίου Πνεύματος ὥσπερ τις ἕξις ἐν ἡμῖν ἐστιν, ἔνδον ῥυεῖσα εἰς ἡμᾶς καὶ πρὸς τὸ ὀρθῶς πράττειν ἡμᾶς κινοῦσα, ποιεῖ ἡμᾶς ἐλευθέρως πράττειν τὰ οἰκεῖα τῇ χάριτι καὶ φυλάττεσθαι τὰ ἐναντία ταύτῃ, οὕτω τοίνυν ὁ καινὸς νόμος διχῶς λέγεται νόμος ἐλευθερίας, ὅτι τε οὐκ ἀναγκάζει ἡμᾶς πρὸς τὸ ποιεῖν ἢ φεύγειν τινά, εἰ μὴ τὰ καθ' αὑτὰ ἀναγκαῖα πρὸς σωτηρίαν, ἢ μαχόμενα ταύτῃ, ἃ ὑποπίπτουσιν ἢ προστάγματι, ἢ κωλύματι ἀπὸ τοῦ νόμου, καὶ ὅτι ταῦτα τὰ προστάγματα, ἢ κωλύματα ποιεῖ ἡμᾶς ἐλευθέρως πληροῦν, καθόσον ἔνδοθεν τῆς χάριτος κινούσης μετ' ἀγάπης ταῦτα πληροῦμεν. Δι' ἄμφω τοίνυν ταῦτα ὁ καινὸς νόμος λέγεται νόμος τελείας ἐλευθερίας.

2. Δεύτερον, ὅτι ἐν τῷ καινῷ νόμῳ ἱκανῶς κεῖνται πάντα τὰ εἰς τὴν ἀνθρωπίνην σωτηρίαν συντείνοντα. Ὁ γὰρ φρόνιμος οἰκοδόμος οὐδὲν παραλιμπάνει τῶν ἀναγκαίων πρὸς τὴν οἰκοδομήν· τοιούτῳ δὲ ὅμοιος ὁ ἀκούων τοὺς λόγους τοῦ Χριστοῦ καὶ ποιῶν, ὡς ἐν τῷ ἑβδόμῳ τοῦ Ματθαίου.

Ἔτι, ὁ καινὸς νόμος περὶ ἐκεῖνά ἐστι, δι' ὧν εἰσαγόμεθα εἰς τὴν χάριν, ἢ ἅπερ ἐξ ἀνάγκης εἰς τὴν ὀρθὴν τῆς χάριτος χρῆσιν λυσιτελεῖ· καὶ ἐπεὶ τῆς χάριτος ἐξ ἡμῶν αὐτῶν τυχεῖν οὐ δυνάμεθα, ἀλλὰ διὰ μόνου τοῦ Χριστοῦ, διὰ τοῦτο αὐτὸς ὁ Κύριος ἐνεστήσατο τὰ μυστήρια, δι' ὧν τυγχάνομεν τῆς χάριτος δι' ἑαυτοῦ, ἤγουν τὸ βάπτισμα, τὴν εὐχαριστίαν, τὴν τάξιν τῶν διακόνων τοῦ καινοῦ νόμου καταστῆσαι ἀποστόλους καὶ ἑβδομήκοντα δύο μαθητάς, ἔτι τε μετάνοιαν καὶ γάμον ἀδιαίρετον. Τὸ δὲ χρίσμα ἐπηγγείλατο διὰ τῆς τοῦ ἁγίου Πνεύματος πέμψεως, καὶ τῇ τούτου παραδόσει λέγονται οἱ ἀπόστολοι ἐλαίῳ τοὺς ἀσθενοῦντας ἀλείφοντες
f. 161 ὑγιάζειν, | ὡς ἐν τῷ ἕκτῳ τοῦ κατὰ Ἰωάννην λέγεται, ἅ εἰσι τοῦ καινοῦ νόμου μυστήρια. Ἡ δὲ ὀρθὴ τῆς χάριτος χρῆσίς ἐστι διὰ τῶν τῆς ἀγάπης ἔργων, ἃ δή, καθό εἰσιν ἐξ ἀνάγκης τῆς ἀρετῆς, εἰς τὰς ἠθικὰς ἐντολὰς ἀνήκουσιν, αἳ καὶ ἐν τῷ παλαιῷ παρεδίδοντο νόμῳ. Ὅθεν, ὅσον κατὰ τοῦτο, ὁ νέος νόμος οὐκ ὤφειλε προσθεῖναι τῷ παλαιῷ περὶ τὰ ἔξωθεν πρακτέα· ὁ δὲ τῶν ἔργων τούτων διορισμὸς ἐν μὲν τῇ πρὸς τὴν λατρείαν τοῦ Θεοῦ τάξει εἰς τὰς παρατηρηματικὰς τοῦ νόμου ἀποφέρεται· ἐν δὲ τῇ πρὸς τὸν πλησίον τάξει, πρὸς τὰς δικαιολογικάς. Καὶ ἐπεὶ οἱ διορισμοὶ οὗτοι οὐκ εἰσὶ καθ' αὑτοὺς ἀναγκαῖοι πρὸς τὴν ἔνδον χάριν, ἐν ᾗ καὶ ὁ καινὸς νόμος συνίσταται, διὰ τοῦτο οὐδὲ ὑπὸ ἐντολήν εἰσιν ἐν τῷ καινῷ νόμῳ, ἀλλὰ τῇ ἀνθρωπίνῃ κρίσει καταλιμπάνονται· τινὰ μὲν ὅσον κατὰ τοὺς ὑποτεταγμένους, ἃ δηλονότι ἰδίως πρὸς ἕκαστον ἀναφέρονται· τινὰ

27 Marc. (non Ioh.) 6, 13

Ε.Υ.Δ της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

δὲ πρὸς τοὺς ἄρχοντας, ἢ τοὺς κοσμικούς, ἢ τοὺς πνευματικούς, ἃ περὶ τῆς κοινῆς εἰσιν ὠφελείας. Οὕτω τοίνυν ὁ καινὸς νόμος οὐδὲν τῶν ἐξωτερικῶν ἔργων ὤφειλε προστάττειν, ἢ κωλύειν, ἃ καθαυτὰ ἀνήκει εἰς τὸν τῆς ἀρετῆς λόγον, οἷον μὴ δεῖν φονεύειν, ἢ κλέπτειν καὶ τὰ τοιαῦτα· περὶ τούτων γὰρ ἐν τῷ παλαιῷ νόμῳ διαλαμβάνεται, καὶ τῷ φυσικῷ λόγῳ, ὅς ἐστι κανὼν τῆς ἀνθρωπίνης πράξεως, καταλέλειπται· ὡσαύτως καὶ περὶ καθιερώσεως ναοῦ, ἢ θυσιαστηρίου, ἢ σκεύους, ἢ διασκευῆς ἑορτῶν, ὡς μὴ καθαυτὰ ἀναγκαίων πρὸς τὴν θείαν χάριν, κατελείφθη τῇ τῶν πιστῶν βουλήσει διαθεῖναι.

3. Τρίτον, ὅτι ὁ καινὸς νόμος ἀνελλιπῶς τὸν ἄνθρωπον ἔταξε περὶ τὰς ἔνδον ἐνεργείας, ὡς Αὐγουστῖνος περὶ τῶν ἐν ὄρει τοῦ Κυρίου λόγων φησί· „Κατανοητέον, ὅτι ὁ εἰπών· ‚ὁ ἀκούων μου τοὺς λόγους τούτους', ἱκανῶς δείκνυσι τὸν λόγον τοῦτον τοῦ Κυρίου πάσαις ταῖς ἐντολαῖς, αἷς ἡ χριστιανικὴ τυποῦται ζωή, τέλειον εἶναι". Καὶ καλῶς φησὶν Αὐγουστῖνος· ὁ γὰρ λόγος, ὃν ἐν τῷ ὄρει προὔθηκεν ὁ Κύριος, πάντα τὸν τοῦ χριστιανικοῦ βίου τύπον περιέχει, ἐν ᾧ τελείως αἱ ἔνδον τοῦ ἀνθρώπου κινήσεις τάττονται. Μετὰ γὰρ τὸ διευκρινῆσαι | τὸ τῆς μακαριότητος τέλος καὶ τὴν f. 161 v
ἀποστολικὴν ἀξίαν ἐγκωμιάσαι, δι' ὧν τὴν εὐαγγελικὴν διδασκαλίαν κηρυχθῆναι ἐχρῆν, τάττει τὰς ἔνδον τοῦ ἀνθρώπου κινήσεις πρῶτον μὲν ὅσον πρὸς τὰ καθαυτόν· ἐφεξῆς δέ, καὶ πρὸς τὸν πλησίον· ὅσον δὲ πρὸς τὰ καθαυτόν, διπλῶς, κατὰ τὰς ἔνδον δύο τοῦ ἀνθρώπου κινήσεις περὶ τὰ πρακτέα, αἵτινες εἰσὶν ἡ περὶ τὰ πρακτέα κίνησις καὶ ὁ τοῦ ἀνθρώπου σκοπός· ὅθεν πρῶτον τάττει τὴν τοῦ ἀνθρώπου θέλησιν κατὰ τὰς διαφόρους ἐντολὰς τοῦ νόμου, ὥστε δηλονότι ἀπέχεσθαί τινα οὐ μόνον τῶν ἔξωθεν ἔργων ἅ εἰσι καθαυτὰ κακά, ἀλλὰ καὶ τῶν ἔνδον καὶ τῶν προφάσεων τῶν κακῶν· ἔπειτα τάττει τὸν σκοπὸν τοῦ ἀνθρώπου, διδάσκων ἐν τοῖς ἀγαθοῖς ἃ πράττομεν μήτ' ἀνθρωπίνην δόξαν ζητεῖν, μήτε κοσμικὸν πλοῦτον, ὅπερ ἐστὶν θησαυρίζειν ἐπὶ τῆς γῆς· ἑπομένως δὲ τάττει τὴν ἔνδον τοῦ ἀνθρώπου κίνησιν περὶ τὸν πλησίον, ὥστ' αὐτὸν μὴ προπετῶς, ἢ ἀδίκως κρίνειν, ἢ κατὰ πρόληψιν, οὐχ οὕτω μέντοι περὶ τὸν πλησίον ἀνειμένους ὑπάρχειν ὥστ' ἂν τοῖς ἀναξίοις οὖσι τὰ ἅγια διδόναι· ἔσχατον δὲ διδάσκει τρόπον καθ' ὃν δεῖ τὴν εὐαγγελικὴν διδασκαλίαν πληροῦν, τουτέστιν αἰτοῦντας τὴν θείαν βοήθειαν καὶ σπουδάζοντας εἰσελθεῖν διὰ τῆς στενῆς πύλης τῆς τελείας ἀρετῆς· καὶ πανταχόθεν ἀσφαλιζομένους ὥστε μὴ ὑπὸ τῶν ἀπατεώνων διαφθαρῆναι· καὶ ὅτι ἡ τῶν ἐντολῶν αὐτοῦ τήρησις ἀναγκαία ἐστὶ πρὸς τὴν ἀρετήν, ὡς οὐκ ἀρκούσης μόνης τῆς ὁμολογίας τῆς πίστεως, ἢ τῆς τῶν θαυμάτων ἐνεργείας, ἢ μόνης τῆς ἀκοῆς.

Εἰ δέ τις ἐλλιπῆ λέγοι τὸν κοινὸν νόμον, πρῶτον μὲν ὅτι ἐκ τῆς δεκαλόγου πάσης περὶ τὰ τρία μόνον προσέθηκεν, ἤγουν ἐν τῇ ἀπαγορεύσει τοῦ φόνου, τῆς μοιχείας καὶ τῆς ἐπιορκίας· δεύτερον, ὅτι φύσει ἔνεστι

τῷ ἀνθρώπῳ φροντίζειν τῶν πρὸς τὸ ζῆν ἀναγκαίων, καὶ ἡ ἐναντία τῇ φυσικῇ ῥοπῇ ἐντολὴ ἄτοπος, ὁ δὲ Κύριος ἐκώλυε τὸ περὶ τὴν τροφὴν καὶ f. 162 τὸ ἔνδυμα φροντίζειν· | πρὸς μὲν τὸ πρῶτον δεῖ λέγειν, ὅτι ὁ Κύριος ἐκείνου τοῦ νόμου ταῖς ἐντολαῖς προστίθησιν ἀναπλήρωσιν περὶ ἃς οἱ γραμματεῖς καὶ οἱ φαρισαῖοι οὐχ ὑγιᾶ διάνοιαν εἶχον· τοῦτο δὲ συνέβαινε μάλιστα περὶ τὰς τρεῖς ἐντολὰς τῆς δεκαλόγου. Περὶ γὰρ τὴν μοιχείαν καὶ τὸν φόνον ἐνόμιζον μόνην κεκωλῦσθαι τὴν ἔξωθεν πρᾶξιν, οὐ μὴν καὶ τὴν ἔνδον κίνησιν, ὃ μᾶλλον ἐπίστευον περὶ τὸν φόνον καὶ τὴν μοιχείαν ἢ περὶ τὴν κλοπὴν καὶ τὴν ψευδομαρτυρίαν διὰ τὸ τὴν εἰς τὸν φόνον κίνησιν τῆς ὀργῆς καὶ τὴν τῆς ἐπιθυμίας εἰς τὴν μοιχείαν ἡμῖν ἀμηγέπη παρὰ τῆς φύσεως ἐνεῖναι, οὐ μὴν καὶ τὴν τοῦ ὀμνύειν ὄρεξιν, ἢ τὴν τοῦ ψευδομαρτυρεῖν. Περὶ δὲ τὴν ἐπιορκίαν ψευδῆ δόξαν εἶχον, πιστεύοντες τὴν μὲν ἐπιορκίαν ἁμαρτίαν εἶναι, τὸν δὲ ὅρκον καὶ διωκτὸν καὶ συνεχῶς δεῖν αὐτῷ χρῆσθαι διὰ τὸ δοκεῖν εἰς τὴν θείαν ἀνήκειν αἰδῶ· καὶ διὰ τοῦτο ὁ Κύριος δείκνυσι τὸν ὅρκον μὴ εἶναι διωκτὸν ὡς ἂν ἀγαθόν, ἀλλὰ μᾶλλον βέλτιον εἶναι ἄνευ ὅρκου διαλέγεσθαι, εἰ μή τις ἀνάγκη βιάζοιτο. Πρὸς δὲ τὸ δεύτερον, τὴν ἀναγκαίαν φροντίδα ὁ Κύριος οὐκ ἐκώλυσεν, ἀλλὰ τὴν ἄτακτον· τετραπλῆ δέ ἐστιν ἡ ἄτακτος φροντίς, ἣν δεῖ ἐν τοῖς παροῦσι φυλάττεσθαι· πρῶτον, ἵνα μὴ ἐν τοῖς προσκαίροις τὸ τέλος τιθώμεθα, μήτε τῷ Θεῷ δουλεύειν διὰ τὰ πρὸς τὸ τρέφεσθαι καὶ ἐνδύεσθαι ἀναγκαῖα· ὅθεν εἶπε· „Μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς“· δεύτερον, ὥστε μὴ οὕτω περὶ τῶν προσκαίρων φροντίζειν ὡς ἂν ἀπελπίζοντας τὴν θείαν βοήθειαν· ὅθεν ὁ Κύριος ἔφησεν· „Οἶδε ὁ Πατὴρ ἡμῶν, ὅτι χρῄζετε τούτων“· τρίτον, ὥστε μὴ εἶναι τὴν φροντίδα μετὰ οἰήσεως, θαρροῦντος ἑαυτῷ τοῦ ἀνθρώπου τὰ πρὸς τὸ ζῆν ἀναγκαῖα διὰ τῆς ἰδίας φροντίδος δύνασθαι προνοεῖν ἄνευ τῆς τοῦ Θεοῦ βοηθείας, ὅπερ ὁ Κύριος ἀναιρεῖ διὰ τοῦ τὸν ἄνθρωπον μὴ δύνασθαι προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ· τέταρτον, τὸ τὸν ἄνθρωπον μὴ φθάνειν τὸν καιρὸν τῆς φροντίδος, ὡς ἐκείνου φροντίζοντα ὅπερ εἰς τὴν ἐπιμέλειαν οὐκ ἀνήκει f. 162v τοῦ παρόντος καιροῦ, | ἀλλ' εἰς τὴν τοῦ μέλλοντος· ὅθεν φησί· „Μὴ φροντίζετε περὶ τῆς αὔριον“.

4. Τέταρτον, ὅτι δεόντως παραινέσεις ἢ συμβουλαί τινες ἐν τῷ καινῷ δέδονται νόμῳ· αἱ γὰρ τοῦ σοφοῦ φίλου συμβουλαί, ὡς ἐν εἰκοστῷ ἑβδόμῳ τῶν Παροιμιῶν, μεγάλην προξενοῦσιν ὠφέλειαν· „Μύροις καὶ ποικίλαις ὀσμαῖς ἡδύνεται ἡ καρδία, καὶ ταῖς συμβουλαῖς τοῦ πλησίον γλυκαίνεται ἡ ψυχή“· ὁ δὲ Χριστὸς μάλιστά ἐστι σοφὸς καὶ φίλος· μεγίστην ἄρα ὠφέλειαν αἱ τούτου συμβουλαὶ περιέχουσιν καὶ προσήκουσαι εἰσίν, εἰ καὶ τισιν οὐ συμφέρουσι διὰ τὴν αὐτῶν ἀνεπιτηδειότητα τῆς διαθέσεως μὴ

21 Matth. 6, 19 — 23 Matth. 6, 32 — 30 Matth. 6, 34 — 34 Prov. 27, 9

Ε.ΒΔ της Κ.Τ.Η. ΙΩΑΝΝΙΝΑ 2006

ῥεπούσης πρὸς αὐτάς· ἧς καὶ ὁ Κύριος ἀεὶ μέμνηται συμβουλεύων ὥσπερ ἐν τῇ περὶ τῆς ἀκτημοσύνης συμβουλῇ ἐν ἐννεακαιδεκάτῳ τοῦ κατὰ Ματθαῖον· „Εἰ θέλεις, φησί, τέλειος εἶναι“· καὶ ἐν τῇ περὶ τῆς διηνεκοῦς σωφροσύνης αὖ, εἰπών· „Εἰσὶν εὐνοῦχοι, οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τοῦ Θεοῦ“, ἐπήγαγεν· „Ὁ δυνάμενος χωρεῖν χωρείτω“, ὡς καὶ ὁ Ἀπόστολος ἐν ἑβδόμῳ τῆς πρὸς Κορινθίους πρώτης συμβουλεύσας περὶ τῆς παρθενίας· „Πλὴν πρὸς τὴν ὑμετέραν ὠφέλειαν τοῦτο λέγω“, ἐπήγαγεν· „Οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλλω“.

## De la grâce.

### CIX. — Περὶ τῆς χάριτος τοῦ Θεοῦ ἤγουν τῆς ἔξωθεν ἀρχῆς, καὶ πρῶτον περὶ τῆς ἀνάγκης αὐτῆς.

1. Περὶ τοῦτο πρῶτον δείκνυται, ὅτι δυνατὸν εἰδέναι τινὰ ἀλήθειαν τὸν ἄνθρωπον καὶ χωρὶς χάριτος. Τὸ γὰρ γινώσκειν τὴν ἀλήθειαν χρῆσις τίς ἐστιν ἢ ἐνέργεια τοῦ νοεροῦ φωτός· κατὰ γὰρ τὸν Ἀπόστολον ἐν πέμπτῳ τῆς πρὸς Ἐφεσίους· „Πᾶν τὸ φανερούμενον φῶς ἐστιν“, πᾶσα δὲ χρῆσις κίνησίν τινα δηλοῖ, ἁπλῶς λαμβανομένης τῆς κινήσεως, καθὸ τὸ νοεῖν καὶ τὸ θέλειν κινήσεις τινὲς εἶναι λέγονται, ὥς φησιν ὁ Φιλόσοφος ἐν τρίτῳ τοῦ περὶ ψυχῆς. Ὁρῶμεν δὲ ἐν τοῖς σωματικοῖς, ὅτι πρὸς τὴν κίνησιν οὐ μόνον αὐτὸ τὸ εἶδος ζητεῖται, ὅ ἐστιν ἀρχὴ τῆς κινήσεως ἢ τῆς ἐνεργείας, ἀλλὰ καὶ ἡ κίνησις τοῦ πρώτως κινοῦντος· τὸ δὲ πρώτως κινοῦν ἐν τῇ τῶν σωματικῶν τάξει τὸ οὐράνιόν ἐστι σῶμα· ὅθεν, ὅσον ἂν τελείαν θέρμην ἔχοι τὸ πῦρ, οὐκ ἂν ἀλλοιώσειεν εἰ μὴ διὰ τῆς κινήσεως τοῦ οὐρανίου σώματος. Φανερὸν δὲ ὅτι, ὥσπερ πᾶσαι αἱ σωματικαὶ κινήσεις ἀνάγονται εἰς τὴν | τοῦ οὐρανίου σώματος κίνησιν ὥσπερ εἰς f. 163
τὸ πρῶτον κινοῦν σωματικόν, οὕτω πᾶσα κίνησις, καὶ σωματικὴ καὶ ἀσώματος, ἀνάγονται εἰς τὸν Θεὸν ὥσπερ εἰς πρώτως κινοῦν ἁπλῶς, καὶ διὰ τοῦτο ὅσον ἂν φύσις τις, σωματικὴ ἢ ἀσώματος, τελεία ὑποτεθῇ, οὐ δύναται εἰς τὴν ἑαυτὴν ἐνέργειαν προελθεῖν μὴ ὑπὸ τοῦ Θεοῦ κινουμένη· ἐκείνη δὲ ἡ κίνησις κατὰ τὸν λόγον τῆς ἐκείνου προνοίας ἐστίν, ἀλλ' οὐ κατὰ ἀνάγκην φύσεως, ὥσπερ ἡ κίνησις τοῦ οὐρανίου σώματος· πᾶσα δὲ κίνησις οὐ μόνον ὡς ἀπὸ πρώτου κινοῦντός ἐστι τοῦ Θεοῦ, ἀλλὰ καὶ ὡς ἀπὸ πρώτης ἐντελεχείας κατὰ τὴν εἰδικὴν αὐτῆς τελειότητα. Οὕτω τοίνυν ἡ τοῦ νοῦ ἐνέργεια καὶ παντὸς ἄλλου κτιστοῦ ὄντος ἤρτηται τοῦ Θεοῦ καὶ κατὰ τὰ δύο· ἕνα μὲν τρόπον, καθὸ παρ' αὐτοῦ ἔχει τὸ εἶδος, δι' οὗ

---

**3** Matth. 19, 2 **4** Matth. 19, 12 **7** I Cor. 7, 35 **12** Autre titre à la marge inférieure de A: *Περὶ τῆς χάριτος τοῦ Θεοῦ καθ' αὑτήν, ὅσον πρὸς τὴν ἀνάγκην αὐτῆς* **17** Ephes. 5, 16

ἐνεργεῖ· ἕτερον δὲ τρόπον, καθόσον ὑπ' αὐτοῦ κινεῖται πρὸς τὸ ἐνεργεῖν. Πᾶν δὲ εἶδος ἐνὸν τοῖς κτιστοῖς πράγμασιν παρὰ τοῦ Θεοῦ ἔχει τὸ δραστήριον πρός τινα ἐνέργειαν ὡρισμένην, εἰς ἣν δύναται κατὰ τὸ εἶδος, περαιτέρω δὲ οὐ δύναται εἰ μὴ διά τινος εἴδους προστεθέντος, ὥσπερ τὸ ὕδωρ οὐ δύναται θερμαίνειν εἰ μὴ θερμανθὲν ὑπὸ τοῦ πυρός. Οὕτω τοίνυν καὶ ὁ ἀνθρώπινος νοῦς ἔχει τι εἶδος, τουτέστιν αὐτὸ τὸ νοερὸν φῶς, ὅπερ ἐστὶν ἀφ' ἑαυτοῦ ἱκανὸν πρὸς τὴν γνῶσίν τινων νοητῶν, ἐκείνων δηλονότι ὧν εἰς τὴν γνῶσιν δυνάμεθα καταντῆσαι διὰ τῶν αἰσθητῶν. Τὰ δὲ ὑψηλότερα νοητὰ ὁ ἀνθρώπινος νοῦς γινώσκειν ἀδυνατεῖ, εἰ μὴ ἰσχυροτέρῳ φωτὶ τελειούμενος, ὥσπερ φωτὶ πίστεως ἢ προφητείας, ὅπερ φῶς χάριτος λέγεται, καθόσον ἐστὶ τῇ φύσει προσκείμενον.

Οὕτω τοίνυν ῥητέον, ὅτι πρὸς τὴν γνῶσιν παντὸς ἀληθοῦς δεῖται τῆς θείας βοηθείας ὁ ἄνθρωπος ὥστε εἰς τὴν ἑαυτοῦ ἐνέργειαν ὑπὸ τοῦ Θεοῦ κινεῖσθαι· οὐ δεῖται δὲ νέου τινὸς φωτισμοῦ προστιθεμένου τῷ φυσικῷ φωτὶ πρὸς τὸ γινώσκειν τὴν ἐν πᾶσιν ἀλήθειαν, ἀλλὰ μόνον ἔν τισι, τοῖς ὑπερβαίνουσι δηλονότι τὴν φυσικὴν γνῶσιν. Ἀλλ' ὅμως πολλάκις
f. 163v ὁ Θεὸς παραδόξως | διὰ τῆς αὐτοῦ χάριτος διδάσκει τινὰς καὶ τὰ δυνάμενα γινώσκεσθαι διὰ τοῦ φυσικοῦ λόγου, ὥσπερ ἐνίοτε παραδόξως ποιεῖ τινὰ καὶ ὧν ἡ φύσις δύναται ποιεῖν.

2. Δεύτερον, ὅτι ὁ ἄνθρωπος οὐ δύναται θέλειν καὶ ποιεῖν τὸ ἀγαθὸν ἄνευ χάριτος, τοῦ Ἀποστόλου λέγοντος ἐν τῷ ἐννάτῳ τῆς πρὸς Ῥωμαίους· „Οὐκ ἔστι τοῦ θέλοντος, δηλαδὴ τὸ θέλειν, οὔτε τοῦ τρέχοντος τὸ τρέχειν, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ". Ὁ γὰρ ἄνθρωπος ἐν τῇ καταστάσει τῆς τελείας φύσεως ἐδεῖτο τῆς θείας χάριτος προστιθεμένης τῇ ἀνθρωπίνῃ δυνάμει καθ' ἓν μόνον, τουτέστι πρὸς τὸ ἐνεργεῖν καὶ θέλειν τὸ ὑπερφυὲς ἀγαθόν· φθαρεῖσα δὲ μετὰ τὴν προγονικὴν ἁμαρτίαν, δεῖται πρὸς δύο, ὥστε ὑγιασθῆναι δηλαδὴ τῇ τῆς θείας ἰατρικῆς ἐπικουρίᾳ, ἅτε μὴ παντάπασιν οὕτω φθαρεῖσα ὥστε καὶ τὴν πρὸς τοῦτο δύναμιν ἀποβαλεῖν· καὶ ἔτι ἵνα τὸ ἀγαθὸν τῆς ὑπερφυσικῆς ἀρετῆς ἐνεργῇ, ὅπερ ἐστὶν ἔμμισθον. Ἐπέκεινα δὲ τούτων, ἐν ἑκατέρᾳ τῶν καταστάσεων δεῖται τῆς βοηθείας τῆς παρὰ τῆς θείας χάριτος ὥστε παρὰ τοῦ Θεοῦ κινεῖσθαι πρὸς τὸ τὰ ἀγαθὰ πράττειν.

Εἰ δὲ ἀνθυποφέροιτο, ὅτι ὁ ἄνθρωπος κύριός ἐστι τῶν ἑαυτοῦ πράξεων, καὶ μάλιστα τοῦ θέλειν, οὗ δέ ἐστι κύριος, τοῦτο ἐν τῇ αὐτοῦ ἐξουσίᾳ ἐστίν· ἔτι, ἕκαστον κακὸν δύναται εἰς τὸ κατὰ τὴν ἑαυτοῦ φύσιν, ἢ εἰς τὸ περὶ τὴν ἑαυτοῦ φύσιν· ὁ δὲ ἄνθρωπος καθ' αὑτὸν δύναται ἁμαρτάνειν, ὃ παρὰ φύσιν τῷ ἀνθρώπῳ ἐστίν· ἔτι, ὁ νοῦς καθ' ἑαυτὸν δύναται γινώσκειν τὸ ἀληθές· τέλος δὲ τῆς θελήσεως τὸ ἀγαθόν, ὡς τοῦ νοῦ τὸ ἀληθές,

22 Rom. 9, 10

Ε.Υ.Δ της Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὥστε καὶ τὸ συμπέρασμα· ῥητέον ἂν εἴη πρὸς μὲν τὸ πρῶτον, ὅτι ὁ ἄνθρωπος κύριός ἐστι τοῦ αἱρεῖσθαι διὰ τὴν τοῦ λόγου ἐλευθερίαν, οὐ μέντοι γε τοῦ κυροῦν, ἀλλὰ δεῖ τὸ αὐτεξούσιον τοῦ ἀνθρώπου ὑπό τινος ἔξωθεν ἀρχῆς κινεῖσθαι ὑπὲρ τὸν ἀνθρώπινον νοῦν, ἥ ἐστιν ὁ Θεός, εἰ καὶ ὁ νοῦς ὑγιὴς ἦν τοῦ ἀνθρώπου, πολλῷ μᾶλλον μετὰ τὴν ἁμαρτίαν, ὅτε κωλύεται τοῦ ἀγαθοῦ διὰ τὴν τῆς φύσεως φθοράν· πρὸς δὲ τὸ δεύτερον, ὅτι ἕκαστον τῶν κτιστῶν ὡς ἑτέρωθέν ἐστιν, οὐκ ἀφ' ἑαυτοῦ, οὕτω καὶ ὑπ' ἄλλου συντηρεῖται ἐν τῷ ἀγαθῷ τῷ οἰκείῳ τῇ φύσει· δύναται δὲ δι' ἑαυτὸ ἀποπίπτειν τοῦ ἀγαθοῦ, ὥσπερ καὶ τοῦ εἶναι, εἰ μὴ συντηροῖτο θεόθεν. Οὐκοῦν τὸ ἁμαρτάνειν, ὅπερ ἀσθενεῖν ἐστι περὶ τἀγαθόν, | οἰ- f. 164
κειότερον συμβαίνει τῷ ἀνθρώπῳ δι' ἑαυτὸν ἢ τὸ θέλειν τὸ ἀγαθὸν καὶ τυγχάνειν αὐτοῦ· πρὸς δὲ τὸ τρίτον, εἰ καὶ τὸ ἀληθὲς οὐ δύναται γινώσκειν ὁ ἄνθρωπος ἄνευ τῆς θείας βοηθείας, ἀλλ' ὅμως καὶ ἡ φύσις διὰ τῆς ἁμαρτίας μᾶλλον ἐφθάρη κατὰ τὴν τοῦ ἀγαθοῦ ἔφεσιν ἢ κατὰ τὴν γνῶσιν τοῦ ἀληθοῦς.

3. Τρίτον, ὅτι δύναται ὁ ἄνθρωπος διὰ τῶν ἑαυτοῦ φυσικῶν ἀγαπᾶν τὸν Θεὸν ὑπὲρ πάντα καὶ ἑαυτόν· τὸ γὰρ ὑπὲρ πάντα τὸν Θεὸν ἀγαπᾶν συμφυές ἐστιν οὐ τῷ ἀνθρώπῳ μόνον οὐδὲ πάσῃ τῇ λογικῇ κτίσει, ἀλλὰ καὶ παντὶ κτίσματι, καὶ ἀλόγῳ καὶ ἀψύχῳ, κατὰ τὸν ἑκάστῳ ἁρμόττοντα τῆς ἀγάπης τρόπον· ἀγαπᾷ δὲ ἕκαστον καὶ ἐφίεται ᾗ πέφυκεν. Εἰ γοῦν τὸ τοῦ μέρους ἀγαθὸν διὰ τὸ τοῦ ὅλου ἐστίν, φύσει ἕκαστον τῶν ὄντων ἀγαπᾷ τὸ ἴδιον ἀγαθὸν διὰ τὸ τοῦ ὅλου καὶ παντὸς ἀγαθὸν καὶ τέλος, ὅπερ ἐστὶν ὁ Θεός· ὅ φησι Διονύσιος ἐν τῷ περὶ θείων ὀνομάτων, ὅτι πάντα πρὸς τὸν ἑαυτοῦ ἔρωτα ὁ Θεὸς ἐπιστρέφει· τοιοῦτος καὶ ὁ ἄνθρωπος πρὸ τῆς ἁμαρτίας ἦν· φθαρείσης δὲ τῆς φύσεως, δι' ἀσθένειαν τῆς λογικῆς θελήσεως μᾶλλον βούλεται τὸ ἴδιον ἀγαθόν, εἰ μὴ τῇ χάριτι τοῦ Θεοῦ ὑγιασθείη· ὥστε πρῶτον μὲν ἐδεῖτο τῆς τοῦ Θεοῦ βοηθείας ὡς κινούσης μόνον πρὸς τὴν ὑπὲρ πάντα ἀγάπην τοῦ θείου, νῦν δὲ ὡς θεραπευούσης καὶ ὑγιαζούσης καὶ ὡς ἐν προσθήκῃ τῶν φυσικῶν ἀγαθῶν.

4. Τέταρτον, ὅτι ὁ ἄνθρωπος ἄνευ χάριτος οὐ δύναται δι' ἑαυτοῦ τὰς ἐντολὰς τοῦ νόμου πληροῦν. Κατὰ μὲν γὰρ τὴν οὐσίαν τῶν ἔργων ἐν τῇ ἀκεραιότητι τῆς φύσεως ἠδύνατο ταύτας πληροῦν· εἰ δὲ μή, ἡμάρτανεν ἄν· τὸ γὰρ ἁμαρτάνειν τὸ παραβαίνειν ταύτας ἐστίν· φθαρείσης δὲ τῆς φύσεως, οὐκ ἂν δύναιτο ἄνευ χάριτος. Κατὰ δὲ τὸν τρόπον τοῦ πράττειν, τουτέστι πρὸς τὸ ἐξ ἀγάπης ταύτας ποιεῖν, ἐν ἑκατέρᾳ τῇ καταστάσει προσδεής ἐστι τῆς θείας χάριτος κινούσης. Τὸ δὲ αὐτεξούσιον οὐ προσίσταται· ὃ γὰρ δυνάμεθα μετὰ τῆς τοῦ Θεοῦ βοηθείας, δι' ἡμῶν αὐτῶν δυνάμεθα, καὶ οὐκ ἔστιν ἁπλῶς ἡμῖν ἀδύνατον, ὥσπερ καὶ ἃ διὰ τῶν φίλων δυνάμεθα. Ὅθεν Ἱερώνυμος λέγει, ὅτι οὕτως ἡμέτερόν ἐστι | τὸ f. 164v
αὐτεξούσιον, ὡς λέγειν ἡμᾶς ἀεὶ δεῖσθαι τῆς τοῦ Θεοῦ βοηθείας.



Ε.Υ.Δ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

5. Πέμπτον, ὅτι ὁ ἄνθρωπος ἄνευ χάριτος οὐ δύναται ἀξιωθῆναι τῆς αἰωνίου ζωῆς. Ἐν γὰρ τῷ ἕκτῳ τῆς πρὸς Ῥωμαίους λέγεται· „Ἡ χάρις τοῦ Θεοῦ, ζωὴ αἰώνιος", ὅπου φησὶν ἡ ἐξήγησις, ὡς τοῦτ' εἴρηται οὕτως, ἵνα νοήσωμεν τὸν Θεὸν τῷ ἑαυτοῦ ἐλέει εἰς τὴν αἰωνίαν ἡμᾶς ἄγειν ζωήν· καὶ ὁ λόγος ἐστὶν ὅτι ἡ αἰώνιος ζωὴ τέλος ἐστὶν ὑπερβαῖνον τὴν ἀναλογίαν τῆς ἀνθρωπίνης φύσεως, καὶ διὰ τοῦτο ὁ ἄνθρωπος διὰ τῶν ἑαυτοῦ φυσικῶν οὐ δύναται ποιεῖν ἔργα οἷς ἀντὶ ἄθλου ἡ αἰώνιος ὀφείλεται ζωή, ἀλλὰ πρὸς τοῦτο ὑψηλοτέρα τις δύναμις ζητεῖται, ἥ ἐστιν ἡ τῆς χάριτος δύναμις. Δύναται μέντοι ποιεῖν ἔργα ἄγοντα πρός τι ἀγαθὸν οἰκεῖον αὐτῷ, ὥσπερ ποιεῖν ἐν ἀγρῷ, ἐσθίειν, πίνειν, ἔχειν φίλους καὶ τὰ τοιαῦτα.

6. Ἕκτον, ὅτι ὁ ἄνθρωπος οὐ δύναται ἑαυτὸν εἰς τὴν χάριν προευτρεπίσαι δι' ἑαυτοῦ ἄνευ τῆς παρὰ τῆς χάριτος βοηθείας. Ἐν γὰρ τῷ ἕκτῳ τοῦ κατὰ Ἰωάννην· „Οὐδεὶς δύναται ἐλθεῖν πρός με, εἰ μὴ ὁ πέμψας με Πατὴρ ἑλκύσει αὐτόν". Εἰ δ' ὁ ἄνθρωπος ἑαυτὸν ἑτοιμάζειν ἠδύνατο, οὐκ ἂν ἔδει τοῦτον ὑπ' ἄλλου ἕλκεσθαι.

Ἔτι, διπλῆ ἐστιν ἡ τῆς ἀνθρωπίνης θελήσεως ἑτοιμασία πρὸς τὸ ἀγαθόν· μία μὲν ᾗ ἑτοιμάζεται πρὸς τὸ τὰ ἀγαθὰ πράττειν καὶ τοῦ Θεοῦ ἀπολαύειν, καὶ αὕτη ἡ ἑτοιμασία οὐ δύναται γενέσθαι ἄνευ τοῦ καθ' ἕξιν δῶρον ἔχειν τῆς χάριτος, ὅ ἐστιν ἀρχὴ τοῦ ἐμμίσθου ἔργου, ὡς εἴρηται· ἕτερον δὲ τρόπον δύναται νοεῖσθαι ἡ ἑτοιμασία τῆς ἀνθρωπίνης βουλήσεως πρὸς τὸ τυχεῖν αὐτοῦ τοῦ καθ' ἕξιν δώρου τῆς χάριτος· πρὸς δὲ τὸ προετοιμάζειν ἑαυτὸν πρὸς τὴν ὑποδοχὴν τοῦ τοιούτου δώρου οὐκ ἀνάγκη προϋποτιθέναι ἄλλο δῶρον καθ' ἕξιν ἐν τῇ ψυχῇ· οὕτω γὰρ ἂν ἐπ' ἄπειρον προΐοι· ἀλλ' ἀνάγκη προϋποκεῖσθαι βοήθειάν τινα θείαν προῖκα ἐγγινομένην, ἔνδον τὴν ψυχὴν κινοῦντος ἢ ἐμπνέοντος πρὸς τὸ προκείμενον ἀγαθόν· κατὰ τούτους γὰρ τοὺς δύο τρόπους δεόμεθα τῆς θείας βοηθείας, ὡς εἴρηται. Ὅτι δὲ πρὸς τοῦτο δεόμεθα βοηθείας Θεοῦ κινοῦντος, δῆλον· ἀνάγκη γάρ, ἐπεὶ πᾶν τὸ ποιοῦν ἕνεκα τέλους ποιεῖ, πᾶσαν αἰτίαν πρὸς
f. 165 | τὸ ἑαυτῆς τέλος ἐπιστρέφειν τὰ οἰκεῖα ἀποτελέσματα· ὅθεν, ἐπεὶ κατὰ τὴν τῶν ποιούντων τάξιν ἔστι καὶ ἡ τῶν τελῶν τάξις, ἀνάγκη πρὸς μὲν τὸ ἔσχατον τέλος κινεῖσθαι τὸν ἄνθρωπον διὰ τῆς κινήσεως τοῦ πρώτως κινοῦντος· πρὸς δὲ τὸ προσεχὲς τέλος, διὰ κινήσεως τινῶν τῶν ταπεινοτέρων κινούντων, ὥσπερ ἡ τοῦ στρατιώτου ψυχὴ πρὸς μὲν τὸ ζητεῖν τὴν νίκην ἐπιστρέφεται ὑπὸ τῆς κινήσεως τοῦ ἡγεμόνος τῆς στρατιᾶς, πρὸς δὲ τὸ ἕπεσθαι τοῖς σημείοις τινὸς τάξεως, ὑπὸ τῆς κινήσεως τοῦ λοχαγοῦ. Οὕτω τοίνυν, ἐπεὶ ὁ Θεὸς ἁπλῶς πρώτως ἐστὶ κινοῦν, ὑπὸ τῆς κινήσεως αὐτοῦ ἐστι τὸ πάντα εἰς αὐτὸν ἐπιστρέφεσθαι κατὰ τὸν κοινὸν

---

2 Rom. 6, 23 14 Ioh. 6, 44

Ε.Υ.Δ της Κ.ΑΠ ΙΩΑΝΝΙΝΑ 2006

σκοπὸν τοῦ ἀγαθοῦ, δι' οὗ ἕκαστον σκοπεῖ τῷ Θεῷ ὁμοιοῦσθαι κατὰ τὸν αὐτοῦ τρόπον· ὅθεν καὶ ὁ Διονύσιος ἐν τῷ περὶ τῶν θείων ὀνομάτων βιβλίῳ φησὶν ὅτι ὁ Θεὸς ἐπιστρέφει πάντα πρὸς ἑαυτόν, ἀλλὰ τοὺς δικαίους ἀνθρώπους ἐπιστρέφει πρὸς ἑαυτὸν ὥσπερ πρὸς εἰδικὸν τέλος ὃ σκοποῦσι καὶ ᾧ προσκολληθῆναι ἐπιθυμοῦσιν ὥσπερ ἰδίῳ ἀγαθῷ, κατὰ τὸ ἐν Ψαλμοῖς· „Ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ Θεῷ ἀγαθόν ἐστιν“· καὶ διὰ τοῦτο τὸ τὸν ἄνθρωπον εἰς τὸν Θεὸν ἐπιστραφῆναι, ἀδύνατον εἶναι πλὴν παρὰ τοῦ Θεοῦ αὐτὸν ἐπιστρέφοντος· οὐδὲν δὲ ἕτερόν ἐστι τὸ πρὸς τὴν χάριν ἑαυτὸν ἑτοιμάζειν ἢ τὸ πρὸς τὸν Θεὸν ἐπιστρέφεσθαι, ὥσπερ ὁ ἔχων ὀφθαλμὸν ἀπεστραμμένον τοῦ ἡλιακοῦ φωτὸς διὰ τοῦ τοὺς ὀφθαλμοὺς εἰς τὸν ἥλιον ἐπιστρέφειν ἑτοιμάζει ἑαυτὸν πρὸς τὸ ὑποδέξασθαι τὸ φῶς τοῦ ἡλίου. Ὅθεν δῆλον, ὅτι ἀδύνατον ἑαυτὸν ἑτοιμάσαι πρὸς τὸ δέξασθαι τὸ τῆς χάριτος φῶς πλὴν διὰ βοηθείας προῖκα διδομένης τοῦ Θεοῦ ἔνδον κινοῦντος.

Εἰ δὲ λέγοι τις τὸ τοῦ Ζαχαρίου· „Ἐπιστρέψατε πρός με, κἀγὼ ἐπιστραφήσομαι πρὸς ὑμᾶς“, ὡς τοῦ πρὸς Θεὸν ἐπιστραφῆναι αὐτοῦ ὄντος τοῦ πρὸς τὴν χάριν ἑαυτὸν ἑτοιμάσαι, ἀλλ' ἡ τοῦ ἀνθρώπου πρὸς Θεὸν ἐπιστροφὴ γίνεται μὲν διὰ τοῦ αὐτεξουσίου, καὶ κατὰ τοῦτο προστάττεται τῷ ἀνθρώπῳ τὸ πρὸς Θεὸν ἑαυτὸν ἐπιστρέφειν, | ἀλλὰ τὸ αὐτεξούσιον f. 165v ἀδύνατον ἐπιστραφῆναι πρὸς τὸν Θεόν, μὴ τοῦ Θεοῦ τοῦτο πρὸς ἑαυτὸν ἐπιστρέφοντος, κατὰ τὸ ἐν τῷ τριακοστῷ πρώτῳ Ἱερεμίου· „Ἐπίστρεψόν με, Κύριε, καὶ ἐπιστραφήσομαι, ὅτι σύ, Κύριε, ὁ Θεός μου“· καὶ ἐν τῷ ἐσχάτῳ τῶν Θρήνων· „Ἐπίστρεψον ἡμᾶς, Κύριε, πρός σε, καὶ ἐπιστραφησόμεθα“.

7. Ἕβδομον, ὅτι ὁ ἄνθρωπος οὐ δύναται ἀναστῆναι τῆς ἁμαρτίας ἄνευ τῆς παρὰ τῆς χάριτος βοηθείας. Λέγεται γὰρ ἐν τῷ δευτέρῳ τῆς πρὸς Γαλάτας· „Εἰ νόμος ἐδόθη δυνάμενος δικαιοῦν, Χριστὸς δωρεὰν ἀπέθανεν“, ἤγουν ἄνευ αἰτίας. Κατὰ τὸν ὅμοιον ἄρα λόγον, εἰ ἀρκεῖ πρὸς δικαιοσύνην τῷ ἀνθρώπῳ ἡ φύσις, δωρεὰν ἀπέθανεν ὁ Χριστός· ἀλλὰ τοῦτο ἄτοπον.

Ἔτι, ἐπεὶ ἡ ἁμαρτία παρερχομένη μένει τῇ ἐνοχῇ, οὐ ταὐτόν ἐστι τὸ ἀπὸ τῆς ἁμαρτίας ἀνίστασθαι ὅπερ τὸ παύεσθαι τῆς ἁμαρτίας κατὰ τὴν πρᾶξιν, ἀλλὰ τὸ ἀνίστασθαι ἀπὸ τῆς ἁμαρτίας ἐστὶ τὸ ἐπανιέναι τὸν ἄνθρωπον πρὸς ἐκεῖνα ἅπερ ἁμαρτάνων ἀπέβαλε.

Τριχῶς δὲ ζημιοῦται τῷ ἁμαρτάνειν ὁ ἄνθρωπος, ὡς δῆλον ἐκ τῶν προειρημένων· πρῶτον μὲν μολυσμὸν προσλαμβάνων· δεύτερον, τὴν φθορὰν τοῦ κατὰ φύσιν ἀγαθοῦ· τρίτον, τὴν τῆς τιμωρίας ἐνοχήν· τὸν μὲν ῥύπον, καθόσον στερεῖται τοῦ κάλλους τῆς χάριτος ἐκ τοῦ αἴσχους τοῦ ἁμαρτήματος· τὸ δὲ τῆς φύσεως ἀγαθὸν φθείρεται, καθόσον ἡ τοῦ ἀνθρώπου

6 Ps. 72, 27 15 Zach. 1, 3 21 Ier. 21, 18 23 Thren. 5, 21 27 Gal. 2, 21

φύσις ἀτακτεῖ ἑκουσίως μὴ ὑποταττομένη τῷ Θεῷ· ταύτης γὰρ ἀναιρεθείσης τῆς τάξεως, ἑπόμενόν ἐστιν ὅλην τὴν τοῦ ἁμαρτάνοντος ἀνθρώπου φύσιν ἄτακτον μένειν· ἡ δὲ ἐνοχὴ τῆς ἁμαρτίας ἐστὶν δι' ἧς ὁ ἄνθρωπος ἁμαρτάνων πρὸς θάνατον αἰωνίας κατακρίσεως ἀξιοῦται. Φανερὸν δὲ ὡς ἀδύνατόν ἐστιν ἕκαστον τῶν τριῶν τούτων ἄνευ τοῦ Θεοῦ λαβεῖν διόρθωσιν. Ἐπεὶ γὰρ τὸ τῆς χάριτος κάλλος ἐκ τοῦ φωτισμοῦ πρόεισι τοῦ θείου φωτός, ἀδύνατον ἀναμορφωθῆναι τὸ κάλλος τοῦτο ἐν τῇ ψυχῇ, μὴ τοῦ Θεοῦ ἐκ νέου πάλιν φωτίζοντος· ὅθεν ζητεῖται δῶρον καθ' ἕξιν, ὅπερ ἐστὶ φῶς τῆς χάριτος. Ὁμοίως δὲ καὶ τὴν τῆς φύσεως τάξιν ἀδύνατον ἐπανελθεῖν ὥστ' ὑποταγῆναι τῷ Θεῷ τὴν θέλησιν τοῦ ἀνθρώπου, μὴ τοῦ
f. 166 Θεοῦ πρὸς ἑαυτὸν | ἕλκοντος τὴν θέλησιν τοῦ ἀνθρώπου, ὡς εἴρηται. Ὁμοίως δὲ καὶ τὴν τῆς αἰωνίου κολάσεως ἐνοχὴν συγχωρηθῆναι ἀδύνατον πλὴν παρὰ Θεοῦ, εἰς ὃν γέγονε καὶ τὸ πταῖσμα καὶ ὅς ἐστι πάντων κριτής. Καὶ διὰ τοῦτο ζητεῖται ἡ τῆς χάριτος βοήθεια πρὸς τὸ τὸν ἄνθρωπον τῆς ἁμαρτίας ἐξαναστῆναι, καὶ πρὸς τὸ καθ' ἕξιν λαβεῖν χάρισμα, καὶ πρὸς τὴν ἔνδοθεν κίνησιν ὑπὸ τοῦ Θεοῦ.

Τὸ δ' ἐν τῷ πέμπτῳ τῆς πρὸς Ἐφεσίους· „Ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφανεῖ σοι ὁ Χριστός", εἴρηται, ὅτι τοῦ ἀνθρώπου ἐπιχειροῦντος ἐξαναστῆναι διὰ τοῦ αὐτεξουσίου ὑπὸ τοῦ Θεοῦ κινηθέντος, ἐγγίνεται τούτῳ φῶς τῆς χάριτος δικαιούσης· οὐ γὰρ ἔτι ὁ λόγος ὁ φυσικὸς ἐξαρκεῖ πρὸς τὴν ὑγίειαν, ἀλλὰ δεῖται νέου φωτισμοῦ διὰ χάριτος, ὥσπερ εἰ σώματι νεκρῷ ἀναστησομένῳ ἐκ νέου προστεθείη ψυχή. Εἰ δὲ καὶ τὸ θερμανθὲν ὕδωρ δι' ἑαυτοῦ πρὸς τὴν οἰκείαν ἐπάνεισιν ἐντελέχειαν, καὶ ὁ λίθος ἄνω ῥιφεὶς πρὸς τὴν κατὰ φύσιν ἐπάνεισι κίνησιν, ἐκεῖ τοῦτο γίνεται διὰ τὸ τὴν φύσιν ἀκεραίαν οὖσαν πρὸς τὸ οἰκεῖον αὐτῇ καὶ ἀνάλογον ἐπανέρχεσθαι ἄνευ τῆς ἔξωθεν βοηθείας· ταῦτα δ' οὐκ ἔστιν ἐν τῷ προκειμένῳ.

8. Ὄγδοον, ὅτι οὐ δύναται ὁ ἄνθρωπος ἄνευ χάριτος μὴ ἁμαρτεῖν τῆς καθ' ἕξιν. Περὶ μὲν γὰρ τῆς προτέρας καταστάσεως, τῆς ἐν ἀκεραιότητι, τοῦτο δυνατὸν ἦν· φθαρείσης δὲ τῆς φύσεως, δεῖται ὁ ἄνθρωπος ἐξ ἀνάγκης χάριτος καθ' ἕξιν θεραπευούσης τὴν φύσιν πρὸς τὸ τῆς ἁμαρτίας ἀπέχεσθαι, ἥτις δὴ ἰατρεία πρῶτον μὲν γίνεται ἐν τῷδε τῷ βίῳ κατὰ τὸν νοῦν, οὔπω παντελῶς τῆς σαρκικῆς ὀρέξεως χωρισθέντα· ὅθεν ἐν τῷ ἑβδόμῳ τῆς πρὸς Ῥωμαίους ἐν προσώπῳ τοῦ διορθωθέντος ἀνθρώπου λέγεται· „Ἐγὼ αὐτὸς κατὰ τὸν νοῦν δουλεύω τῷ νόμῳ τοῦ Θεοῦ· τῇ δὲ σαρκὶ καὶ τῷ νόμῳ τῆς ἁμαρτίας"· ἐν ᾗ δὴ καταστάσει δύναται ὁ ἄνθρωπος ἀποστῆναι τῆς πρὸς θάνατον ἁμαρτίας, ἥτις ἐν τῷ λόγῳ συνίσταται· οὐ μὴν δύναται καὶ πάσης, τῆς συγγνωστῆς δηλαδή, διὰ τὴν φθορὰν τῆς ταπεινοτέρας αἰσθητικῆς ὀρέξεως, ἧς τὰς κινήσεις καθ' ἑκάστην μὲν ἀνα-

17 Ephes. 5, 14 34 Rom. 7, 25

Ε.Υ.Δ τμήμ.Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

χαιτίζειν ὁ λόγος δύναται· ὅθεν ἔχουσι καὶ λόγον ἁμαρτήματος | καὶ ἑκουσίου· οὐ μὴν πάσας· ἐπιχειρῶν γὰρ ἀντιστῆναι μιᾷ, ἐπαναστάσης ἄλλης ἡττήσεται διὰ τὸ καὶ τὸν λόγον μὴ δύνασθαι ἀεὶ ἄγρυπνον εἶναι πρὸς τὸ φυλάξασθαι τὰς τοιαύτας κινήσεις. Ὁμοίως δὲ καὶ πρὸς τὸν τοῦ ἀνθρώπου λόγον, ἐν ᾧπερ ἡ πρὸς θάνατόν ἐστιν ἁμαρτία, ἐπανακληθεὶς διὰ τῆς χάριτος δικαιούσης, δύναται ἕκαστα τὰ πρὸς θάνατον ἁμαρτήματα φυλάξασθαι ἐπί τινα χρόνον διὰ τὸ μὴ εἶναι ἀναγκαῖον συνεχῶς τὸν ἄνθρωπον ἁμαρτάνειν· τὸ δὲ ἐπὶ πολὺ μένειν ἄνευ τῆς πρὸς θάνατον ἁμαρτίας ἀδύνατον ὅλως, ὡς ὁ Γρηγόριος φησὶν εἰς τὸν Ἰεζεκιήλ, ὅτι ἡ αὐτίκα διὰ μετανοίας μὴ ἐξαλειφθεῖσα ἁμαρτία πρὸς ἑτέραν ἕλκει τῷ ἑαυτῆς βάρει. Ὅταν γὰρ ἐν τῷ Θεῷ μὴ βεβαίαν ἔχῃ ὁ ἄνθρωπος τὴν καρδίαν ὥστε δι᾽ οὐδεμίαν ἀγαθοῦ τεῦξιν ἢ κακοῦ φυγὴν βούλεσθαι τοῦ Θεοῦ χωρισθῆναι, συμβαίνει τούτῳ πολλά, ὧν βουλόμενος τυχεῖν, ἢ ἀποφυγεῖν, ἀφίσταται τοῦ Θεοῦ, καταφρονῶν τῶν αὐτοῦ ἐντολῶν, καὶ οὕτως ἁμαρτάνει πρὸς θάνατον, μάλιστα διὰ τὸ ἐν τοῖς ἀθρόοις ἐνεργεῖν τὸν ἄνθρωπον κατὰ τὸ προειλημμένον τέλος καὶ τὴν προϋπάρχουσαν ἕξιν, ὥς φησιν ὁ Φιλόσοφος ἐν τρίτῳ τῶν ἠθικῶν· εἰ καὶ τῷ προμελετῆσαι τὸν λόγον δύναται ὁ ἄνθρωπος ποιεῖν τι παρὰ τὴν ἐκ προλήψεως ῥοπὴν καὶ τῆς ταύτης ἕξεως, ἀλλὰ διὰ τὸ μὴ δύνασθαι τὸν ἄνθρωπον ἐν τῇ τοιαύτῃ μελέτῃ εἶναι ἀεί, ἀδύνατον ἐπὶ πολὺ διαμένειν μὴ ἐνεργοῦντα κατὰ τὴν ἀτακτήσασαν ἀπὸ Θεοῦ θέλησιν, εἰ μὴ θᾶττον διὰ τῆς χάριτος εἰς τὴν δέουσαν ἐπανέλθοι τάξιν.

f. 166v

9. Ἔννατον, ὅτι ὁ ἤδη τυχὼν τῆς χάριτος οὐ δι᾽ ἑαυτοῦ δύναται τὸ ἀγαθὸν ἐνεργεῖν καὶ φυλάττεσθαι τὸ κακὸν ἄνευ ἄλλης βοηθείας τῆς χάριτος. Φησὶ γὰρ Αὐγουστῖνος ἐν τῷ περὶ φύσεως καὶ χάριτος· „Ὥσπερ ὁ τοῦ σώματος ὀφθαλμὸς καὶ τελειότατα ὑγιαίνων οὐ δύναται καθορᾶν μὴ καὶ τῇ λαμπρότητι τοῦ φωτὸς βοηθούμενος, οὕτω καὶ ὁ χάριν ἤδη ἔχων δεῖται ἄλλης βοηθείας τῆς χάριτος πρὸς τὸ ὀρθῶς ζῆν". Εἰ γὰρ καὶ μὴ δεῖται ἑτέρας χάριτος πρὸς τὸ πράττειν ὀρθῶς παρὰ τὴν ὡς ἕξιν ἐγγενομένην καὶ τῆς φθορᾶς ἀπαλλάξασαν, ἀλλὰ τὸ πρὸς | τὸ ἀγαθὸν ὑπὸ τοῦ Θεοῦ κινεῖσθαι, οὗ μάλιστα ὁ ἄνθρωπος δεῖται, δι᾽ ἑτέρας χάριτος γίνεται, καθόλου μὲν ὅτι οὐδὲν κτιστὸν δύναται εἴς τινα ἐνέργειαν προελθεῖν, μὴ τῇ δυνάμει τῆς θείας κινήσεως· ἰδικῶς δὲ διὰ τὴν τῆς ἀνθρωπίνης φύσεως ἕξιν, ἥτις, εἰ καὶ διὰ τῆς χάριτος ὑγιασθείη κατὰ τὸν νοῦν, ὅμως μένει ἡ φθορὰ καὶ ὁ μολυσμὸς ὅσον πρὸς τὴν σάρκα, δι᾽ ἧς δουλεύει τῷ νόμῳ τῆς ἁμαρτίας, ὡς ἐν ἑβδόμῳ τῆς πρὸς Ῥωμαίους. Ἐνυπομένει δὲ καὶ τῷ νῷ ἀχλύς τις ἀγνοίας, καθ᾽ ἥν, ὡς λέγεται ἐν τῷ ὀγδόῳ τῆς πρὸς Ῥωμαίους· „Οὐκ οἴδαμεν τί προσευξώμεθα καθὸ δεῖ"· διὰ γὰρ τὰς ποικίλας τῶν πραγμάτων ἀποβάσεις καὶ διὰ τὸ τελείως μὴ γινώσκειν ἡμᾶς

f. 167

37 Rom. 8, 26

Ε.Υ.Δ.Δ.Ε.Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006